Cι. μεμάθηκα. πάλιν αἶρου δὲ ταυτὶ καὶ φέρε
εἴϲω. ποῶμεν ϲτιβάδαϲ ἔνδον εὐτρεπεῖϲ
καὶ τἆλλ' ἕτοιμα. μηδὲν ἐπικωλυέτω
θύειν γ' ἐπὰν ἔλθωϲιν. ἀλλ' ἀγαθῆι τύχηι.
καὶ τὰϲ ὀφρῦϲ ἄνεϲ ποτ', ὦ τριϲάθλιε·
ἐγώ ϲε χορτάϲω κατὰ τρόπον τήμερον.
Γε. ἐπαινέτηϲ ϲοῦ τ' εἰμι καὶ τῆϲ ⟨ϲῆϲ⟩ τέχνηϲ
ἔγωγ' ἀεί ποτ'—οὐχὶ πιϲτεύω δ' ὅμωϲ.

## ΧΟΡΟΥ

## ACTVS III

Κν. γραῦ, τὴν θύραν κλείϲαϲ' ἄνοιγε μηδενί,
ἕωϲ ἂν ἔλθω δεῦρ' ἐγὼ πάλιν· ϲκότουϲ
ἔϲται δὲ τοῦτο παντελῶϲ, ὡϲ οἴομαι.
⟨ΜΗΤΗΡ⟩
Πλαγγών, πορεύου θᾶττον· ἤδη τεθυκέναι
ἡμᾶϲ ἔδει.
Κν. τουτὶ τὸ κακὸν τί βούλεται;
ὄχλοϲ τιϲ. ἄπαγ' ἐϲ κόρακαϲ.
(Μη.) αὔλει, Παρθενί,
Πανόϲ· ϲιωπῆι, φαϲί, τούτωι τῶι θεῶι
οὐ δεῖ προϲιέναι.
(Γε.) νὴ Δί' ἀπεϲώθητέ γε.
⟨Κν.⟩ ὦ Ἡράκλειϲ, ἀηδίαϲ.
⟨Γε.⟩ καθήμεθα
χρόνον τοϲοῦτον περιμένοντεϲ.
(Μη.) εὐτρεπῆ